»μοις πατριαρχευσάντων σελ: 1153» Ἱέραξ ὁ μέγας λογοθέτης, ὅστις »ἤκμαζε περὶ τὸ ἑπτάκις χιλιοστὸν ὀγδοηκοστὸν ἔτος, ἐσημείωσε ὅτι »μετὰ τὴν ὑπὸ τῶν ὀθωμανῶν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ἠ»θροίσθη σύνοδος ἐν Κωνσταντινουπόλει κ.τ.λ.

.553 Θεοφανης Μοναχὸς καὶ Μέγας ῥήτωρ τῆς Μεγάλης ἐκκλησίας τῆς Κωνσταντινουπόλεως· ἤκμαζεν πρὸ τῆς ἁλώσεως καὶ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως. ἐχρημάτισε φίλος ἄκρος τοῦ τότε ἐκλαμπροτάτου Γεωργίου ῥαοὺλ τοῦ ἀκμάσαντος περὶ τὸ 1460 ἔτος ὡς μαρτυρεῖ Γεώργιος ὁ φραντζῆς βιβλ: 3 κφ. 23. 24. 25. 26. τῆς ἐνετίησι λατινικῆς ἐκδοσ: κατὰ δὲ τὴν τῆς βιέννης ἑλλην: βιβλ: δ'. Κεφ: ις'. κατὰ δὲ τὸν λαμβέκιον βιβλ: ε' τῶν ὑπομνημάτων σελ: 117.

σώζεται ἐν τῇ Καισαροβασιλικῇ βιβλιοθήκῃ τῆς βιέννης· ἐν χειρογράφῳ ἑλληνικῷ θεολογικῷ Κώδηκι σμς'. ἀρ. δεκάτῳ ἕκτῳ ἀπὸ τῆς σελίδος 148· μέχρι τῆς 151· τοιαύτην ἐπιγραφὴν ἔχον. Θεοφάνου Μοναχοῦ τοῦ Μεγάλου ῥήτορος τῆς Ἁγ: τοῦ Χριστοῦ Μεγάλης ἐκκλησίας πρὸς τὸν πανευγενέστατον Κύριον Γεώργιον τὸν ῥαέλ, ἀποβάλλοντα τὸν Παμφίλτατον υἱὸν αὐτοῦ Μιχαήλ· Ἄρχεται· Βαβαιὰξ τοῦ ἀφορήτου πάθους κ.τ.λ. ἀρ: ιζω ἀπὸ τῆς σελ: 151 ἕως τῆς 154.

σώζεται ἐπιστολὴ τοῦ αὐτοῦ θεοφάνους πρὸς τὸν αὐτὸν Γεώργιον ῥαὲλ Περὶ φιλοπτωχίας.

Μόνος τῶν ἄλλων μνεῖαν ποιεῖται τοῦ θεοφάνους ὁ λαμβέκιος βιβλ: ε' τῶν ὑπομνημάτων τῆς Καισαρικῆς Βιβλιοθήκης σελ: 117 καὶ 118· καὶ ἐν τῷ Καταλόγῳ τῶν Συγγραφέων αὐτοῦ τοῦ τόμου σελ: 359 καὶ 367.

14.. Μανουηλ χρυστώνυμος. τὶς καὶ πόθεν καὶ πότε ἤκμαζεν οὗτος ἀγνοοῦμεν· εἰμὴ τοῦτο οἴδαμεν ὅτι ἐν τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ